# ΣΥΜΠΟΣΙΑΚΩΝ E
## ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ

**1.** *Σιμωνίδης ὁ ποιητής, ὦ Σόσσιε Σενεκίων, ἔν τινι πότῳ ξένον ἰδὼν κατακείμενον σιωπῇ καὶ μηδενὶ δια-* F *λεγόμενον, ‛ὦ ἄνθρωπ᾽’ εἶπεν, ‛εἰ μὲν ἠλίθιος εἶ, σοφὸν πρᾶγμα ποιεῖς· εἰ δὲ σοφός, ἠλίθιον.’ ‛ἀμαθίην γὰρ ἄμεινον’ ὥς φησιν Ἡράκλειτος* (fr. 95) *‛κρύπτειν’, ἔργον δ᾽ ἐν ἀνέσει καὶ παρ᾽ οἶνον* | (ξ 464)

*‛ὅστ᾽ ἐφέηκε πολύφρονά περ μάλ᾽ ἀεῖσαι,* **645**
*καί θ᾽ ἁπαλὸν γελάσαι καί τ᾽ ὀρχήσασθαι ἀνῆκεν,*
*καί τι ἔπος προέηκεν, ὅπερ τ᾽ ἄρρητον ἄμεινον·’*

*οἰνώσεως ἐνταῦθα τοῦ ποιητοῦ καὶ μέθης, ὡς ἐμοὶ δοκεῖ, διαφορὰν ὑποδεικνύντος. ᾠδὴ μὲν γὰρ καὶ γέλως καὶ ὄρχησις οἰνουμένοις μετρίως ἔπεισι· τὸ δὲ λαλεῖν καὶ λέγειν, ἃ βέλτιον ἦν σιωπᾶν, παροινίας ἤδη καὶ μέθης ἔργον ἐστίν. διὸ καὶ Πλάτων* (Legg. 650 a) *ἐν οἴνῳ μάλιστα καθορᾶσθαι τὰ ἤθη τῶν πολλῶν νομίζει, καὶ Ὅμηρος εἰπὼν* (φ 35) *‛οὐδὲ τραπέζῃ γνώτην ἀλλήλων’ δῆλός ἐστιν εἰδὼς τὸ ⟨πολύφω⟩νον τοῦ οἴνου καὶ ⟨λογων⟩ πολλῶν γόνιμον. οὐ γὰρ ἔστι τρωγόντων σιωπῇ καὶ πινόντων* B *γνῶσις· ἀλλ᾽ ὅτι τὸ πίνειν εἰς τὸ λαλεῖν προάγεται, τῷ δὲ*